καὶ λέγει, ὅτι οὐκ οἶδα, οὐ γάρ πω συγγέγονα τῷ ἀνδρί, διὰ τοῦτο διδάσκων ἡμᾶς, ὡς οὐ δεῖ τοῖς λεγομένοις πείθεσθαι· τί γάρ, εἰ οἱ λέγοντες ἢ διὰ τὴν περὶ ἡμᾶς εὔνοιαν ἢ διὰ τὴν περὶ ἡμᾶς ἀπέχθειαν ἢ ἐπαινοῖεν ἢ σκώπτοιεν; δεῖ οὖν ἀναμένειν καὶ πεῖραν λαμβάνειν καὶ οὕτως ἀποφαίνεσθαι· φησὶν δὲ πρὸς τοῦτο ὁ Πῶλος· τί οὖν οὐδὲ ὁ μέγας βασιλεὺς δοκεῖ σοι εὐδαίμων εἶναι κρατῶν ἁπάντων ὥς φησὶν ἐκεῖνος μέχρι χελιδόνων καὶ κυανέων; ὁ δὲ Σωκράτης λέγει ὅτι οὐδὲν περὶ τούτου ἀποφαίνομαι, οὐ γὰρ οἶδα, ὅπως ἔχῃ παιδείας ἢ δικαιοσύνης· οὐ γὰρ ὁ κρατῶν πάντων εὐδαίμων, ἀλλ' ὁ τὰ δύο ταῦτα ἔχων, κἂν ᾖ πενέστερος Ἴρου, ἐπιστήμην τε καὶ δικαιοσύνην. ἰστέον γάρ, ὅτι ὁ ἄνθρωπος ὡς δέδεικται οὐδὲ τὰ χρήματά ἐστιν οὐδὲ τὸ σῶμα οὐδὲ τὸ συναμφότερον ψυχὴ καὶ σῶμα, ἀλλὰ ψυχὴ μόνως καὶ ψυχὴ οὐ πᾶσα· οὐδὲ γὰρ ἡ ἄλογος οὐδὲ ἡ ἐξ ἀλογίας καὶ λόγου, ἀλλὰ μόνη ἡ λογική, ἡ οὖσα αὐτὸ τὸ αὐτό· οὐκοῦν ἐπειδὴ ψυχή ἐστι λογική, τῆς δὲ ψυχῆς διτταὶ αἱ δυνάμεις, αἱ μὲν γνωστικαί, αἱ δὲ ὀρεκτικαί, καὶ δεῖ διὰ μὲν τῆς ἐπιστήμης τὰς γνωστικὰς ἀσκεῖν, διὰ δὲ τῆς δικαιοσύνης τὰς ὀρεκτικάς· ἄλλως οὖν οὐκ ἂν εὐδαιμονήσωμεν εἰ μὴ διὰ τούτων τῶν δύο. ταῦτα μὲν οὖν περὶ τούτων. ὁ δὲ Πῶλος ῥητορικώτερον ἐκτίθεται τὰ κατὰ τὸν Ἀρχέ- 3
λαον καί φησιν· ὅτι οὐ παλαιὰ διηγήματα φέρων ἀνατρέπω σε, τὸ γὰρ παλαιὸν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται, ἀλλὰ νεωτέρῳ κέχρημαι τῷ τοῦ Ἀρχελάου. δεῖ τοίνυν εἰδέναι, ὅτι γεγόνασι δύο ἀδελφοὶ Περδίκκας καὶ Ἀλκέτης· καὶ ὁ Περδίκκας

11 cf. σ 6. Dion. Chrysost. LXVI 20 23 Thuc. II 45

1 mg. ση. ὅτι οὐ δέον λόγοις εἰ μὴ πείρᾳ πιστεύειν 6 mg. μέγαν βασιλέα τὸν τῶν Περσῶν λέγει 24 mg. ση. τὰ περὶ Ἀρχελάου Μακεδόνος ἱστορούμενα

